15 Τούτων τοῖς καλοῖς καὶ βασιλεὺς ἑάλω καὶ οὐδὲν ἧττον ἐφίλει τοὺς ἄνδρας ἢ τὸν Ἀρτάβανον Ξέρξης, εἰ δὲ βούλει, ὁ Μυκηναῖος τὸν Πύλιον. ἐκείνους μὲν οὖν ἅτε μακαρίους καὶ τῷ ὄντι εὐδαίμονας μὴ καὶ ὕβρις κατάγειν εἰς ἔπαινον· ἀνθρωπικώτερον γάρ ἐστιν τοῦτο τὸ χρῆμα καὶ μακρῷ τῆς θειότητος καὶ τῶν ἐκεῖσε ὑπεραναπτάντων χθαμαλώτερόν τε καὶ προσγειότερον. σὸν δ' ἂν εἴη καὶ τοῦτο πάντως ἐγκώμιον, ὅτι σοι καὶ ὑπὲρ ἔπαινον σχεδόν ἐστι τὸ ἀρχέγονον. ἆρ' οὖν τοῦτο καὶ μόνον τὸ μέρος μακάριον τἆλλα δὲ τοῦ γένους ὑποχωλάναντα πρὸς ἀρετήν, κἀντεῦθεν κεκολόβωταί σοι τὸ εὔφημον; οὐμενοῦν, 'οὐκ ἔστι τοῦτο', οὐκ ἔστι· 'πόθεν; πολλοῦ γε καὶ δεῖ'. ᾧ γε τὰ πατρόθεν τε καὶ μητρόθεν τῶν οὐκ ἀσήμων οὐδ' ἀφανῶν ἐξεγένετο, ἀλλ' οἵους εἰκὸς εἶναι τοὺς ἐξ ἀρίστων καὶ φύντας καὶ αὐξηθέντας καὶ τραφέντας ὡς ἄριστα· οἷς κἂν μήπω τι θαυμαστὸν ἡ φύσις ἐπέφυσεν, ἀλλά γε τὸ τοιῶνδε γονέων παῖδας γενέσθαι καὶ τοιοῦδε παιδὸς κληθῆναι γονεῖς, οὐ μικρὸν εἰς εὐφημίαν ἐδόκει τοῖς γε νοῦν ἔχουσιν.

16 Ἀλλὰ γὰρ ἐνταῦθα τοῦ λόγου γενόμενος, ὦ παρόντες, βούλομαί τι, καὶ πρὶν ἢ τῆς εὐφημίας ἀπάρξασθαι, προεπεισόδιον ὡς ἐν δράματι τῷ λόγῳ προανακρούσασθαι. αὐτοὶ γοῦν μοι | προαγέσθων εἰς μέσον οἱ ποιηταί, 406] καὶ ὥσπερ ἐξ ἀποστάσεως, κατὰ τοὺς ῥήτορας, ὡς ἐπ' ἐκκλησίας ἀναφανήτωσαν. ὑμεῖς δ' ὁ δῆμος ἐπικυροῦτε τὴν γνώμην καὶ τὰ δοκοῦντα ψηφίζεσθε· 'ὅταν δὲ μὴ κρηπὶς καταβληθῇ γένους ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς ἐκγόνους'. ὡς εὖγε, ὦ ποιηταί, τοῦ ψηφίσματος. καὶ ὁ σύμπας ἤδη δῆμος ἐπηλάλαξαν εὔφημόν τι καὶ σύμφωνον· «τούτων καὶ ἡ τοῦ γένους κρηπὶς ὀρθῶς καταβέβληται καὶ τὸ δυστυχεῖν ἀπ' αὐτῆς γονῆς ἀρχῆθεν τρόπον ἕτερον καταβέβληται». ξυνέθεσθε καὶ ὑμεῖς ὅσους κριτὰς καὶ γνώμονας τοῦδε τοῦ λόγου προυπεθέμεθα, καὶ ὅλαις ψήφοις τὴν νικῶσαν ἐναποφέρομαι, οὕτω σοι τὸ ἀγαθὸν ἀφ' ἑστίας καὶ πάτριον. οὔπω γάρ σοι ὁ ποιητὴς ἔφθη προσεπιμαρτυρῆσαι τὸ εὔδαιμον καὶ τὸ θέατρον ἡλίκον οἷον ἐκρότησαν. ἀλλὰ γὰρ ἀνέχεσθε μικρόν, ὦ ἄνδρες, καὶ δότε μοι λέγειν ἀθορύβητα· καὶ τάχα καὶ μείζω κρότον ἐγείρωμεν. νῦν μὲν ἔγνωτε τὴν ὀπώραν ἀπὸ τοῦ φυτοῦ καὶ παραυτίκα, θάμβους καὶ ἡδονῆς τὰς καρδίας ὑποπλησθέντες, ὡς οἷόν τε τὰς φωνὰς ἐπὶ μήκιστον ὅσον ἐξάραντες ἐκροτήσατε. ὡς εἴ γε καὶ τῶν τῆς ὀπώρας καλῶν τὴν εὐφημίαν ἀποτρυγήσετε, καὶ γνοίητε τοῦ φυτοῦ τὴν ἐνθένδεν ἐπικόσμησιν (κατὰ τὸ ἀντίστροφον οὐδ' ἂν οἶμαι) καὶ λέγειν ἡμῖν ἀθορύβως τοῦ λοιποῦ δοίητε.

17 Ἀλλὰ γὰρ αἰσθάνομαι νῦν ἐμαυτοῦ κατὰ τὸ ἀθρόον οὐκ οἶδ' ὅπως ὀκλάζοντος καὶ ὡς ἐπ' ἀδύτοις ὀκνῶ τὴν ἐπίβασιν. ἢ καὶ πρὸς τὸ τῶν σῶν